θερμὸν μὲν γὰρ ἔσται καὶ ξηρόν, εἰ τῷ χειμῶνι, ψυχρὸν δ' αὖ καὶ ὑγρόν, εἰ τῷ θέρει παραβάλλοιτο. κατ' οὐδετέραν οὖν τῶν παραβολῶν ὁλοκλήρως γιγνομένην ὑγρὸν ἔσται καὶ θερμόν. εἰ δ' ἔξεστιν ἐκείνοις ἐξ ἑκατέρας αὐτῶν ἥμισυ λαβοῦσιν ὑγρὸν ἀποφαίνειν αὐτὸ καὶ θερμόν, ἐξέσται δήπου καὶ ἡμῖν ἐπὶ θάτερον ἥμισυ μετελθοῦσι ξηρὸν καὶ ψυχρὸν ἀποφῆναι, ξηρὸν μὲν ὡς πρὸς τὸν χειμῶνα, ψυχρὸν δ' ὡς πρὸς τὸ θέρος. ἅπαντ' οὖν οὕτως ἔσται τὸ ἔαρ, ὑγρὸν καὶ ξηρὸν καὶ ψυχρὸν καὶ θερμόν.

'Αλλ' οὐδὲ | κατ' αὐτοὺς ἐκείνους οἷόν τ' ἐστὶν ἐν ἑνὶ 526 καὶ ταὐτῷ πράγματι τὰς τέτταρας ἐπικρατῆσαι ποιότητας. οὔκουν οὔτε θέρει παραβάλλειν οὔτε χειμῶνι τὸ ἔαρ, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ σκοπεῖσθαι δίκαιον. οὐδὲ γὰρ οὐδὲ τὸν χειμῶνα διὰ τοῦτο λέγομεν ὑγρὸν εἶναι καὶ ψυχρόν, ὅτι τῶν ἄλλων ὡρῶν ἐστιν ὑγρότατός τε καὶ ψυχρότατος, ἀλλὰ τοῦτο μὲν ἄλλως αὐτῷ συμβέβηκεν· ὅτι δὲ πλεονεκτεῖ κατ' αὐτὸν ἡ μὲν ὑγρότης τῆς ξηρότητος, ἡ δὲ ψυχρότης τῆς θερμότητος, διὰ τοῦθ' ὑγρὸς καὶ ψυχρὸς εἶναι λέγεται. κατὰ ταὐτὰ δὲ καὶ τὸ θέρος, ὅτι κἂν τούτῳ τὸ μὲν ὑγρὸν ἀπολείπεται τοῦ ξηροῦ, τὸ δὲ ψυχρὸν τοῦ θερμοῦ, διὰ τοῦτο θερμὸν εἶναι λέγεται καὶ ξηρόν. καὶ γὰρ καὶ δίκαιον ἐκ τῆς οἰκείας φύσεως ἑκάστην τῶν ὡρῶν ἐξεταζομένην, ἀλλὰ μὴ πρὸς ἄλλην τινὰ παραβαλλομένην ἢ θερμὴν ἢ ψυχρὰν ἢ ξηρὰν ἢ ὑγρὰν ὀνομάζεσθαι. καὶ δὴ καὶ σκοπουμένῳ σοι κατὰ τάδε φανεῖται τὸ ἔαρ ἀκριβῶς μέσον ἁπασῶν τῶν

---

3 οὖν] δὲ M ‖ ὑγρὸν ἔσται κ. θ. LMV ὑ. κ. θ. ἔσται O ‖ 4 ἔξεστιν] ἐξέσται LM ‖ 7 ψυχρὸν μὲν ὡς πρὸς τὸ θέρος, ξηρὸν δὲ ὡς πρὸς τὸν χειμῶνα M ‖ 8 ὑγρὸν κ. ξ. κ. θ. κ. ψ. LV ὑ. κ. ξ. θ. κ. ψ. M ὑ. ξ. θ. ψ. O omissa καὶ vocula; usitatum verborum ordinem restitui ‖ 12 οὐκοῦν LM ‖ παραβάλλειν LMV παραβαλεῖν O ‖ 13 ἑαυτὸ L αὑτὸ O αὐτὸ M ‖ verba οὐδὲ γὰρ usque ad ὡς ἐν χειμῶνι τοῦ ὑγροῦ excerps. Orib. IX 2, 1—4. ‖ 15 ὑγρότατός τε κ. ψ. ἐστιν M ὑ. τε κ. ψ. V ὑ. ἐστὶ κ. ψ. L τε om. O ‖ 16 ἄλλως LM καὶ ἄλλως OV ‖ κατ' αὐτὸν] ἐν αὐτῷ L ‖ 18 ὑ. κ. ψ. εἶναι LMV ψ. εἶναι κ. ὑ. O ‖ 19 ταὐτὰ Orib. ταῦτα LMV ταυτὸ O ‖ 21 καὶ γὰρ καὶ L Orib. κ. γ. cett. ‖ 22 οἰκείας] ἰδίας V Orib. ‖ ἀλλὰ μὴ LMV οὐ O ‖ 23 ἢ ante θερμὴν om. L ‖ 25 ἀκριβῶς om M

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413088340/27 UNIVERSITÄT LEIPZIG